
# BEN-HUR

by
LEW WALLACE
MAJOR GENERAL, U.S. ARMY



Ὁ τῆς τιμωρίας πόθος ἐκράτει τῆς καρδίας τοῦ Βενώρ, τοσαύτης ταραχῆς οὔσης ὥστε τοὺς μὲν ἀγρίως κατατρίβεσθαι, τοὺς δὲ ὑπὸ τῶν κυριεύειν ἐπιθυμούντων νικᾶσθαι.

Ὁ δὲ μεγαλόφρων τε καὶ πλούσιος ἄρχων τῶν Ἱεροσολύμων ὤν, ζηλοτυπῶν ὑπερεφρόνει τῇ τοῦ Ἰουδαϊκοῦ γένους παραδόσει .

Χαλεπῶς δ' ἐφέρει τὴν ἀδικίαν τῶν Ῥωμαίων, τῶν Ἰουδαίαν τὴν πατρίδα αὐτοῦ νικησάντων καὶ ἀφ' σεμνῆς βασιλείας εἰς ἐπαρχίαν στασιωτικὴν καταγαγόντων.

Τότε ὁ δεινὸς μῦθος αὐτοῦ ἄρχεται, ὅτε ὁ ἑπτακαίδεκα ἔτη γεγονὼς καταφρονεῖ τὴν ὕβριν τε καὶ τὰς ἀπειλὰς Ῥωμαίου νεανίου τινός, ὃς πάλαι φίλτατος αὐτῷ ἐγεγόνει.

Ἔπειτα δέ, ἐν νηῒ καταδεδουλωμένος, ὡς ἐκ τοῦ Ταρτάρου, ἀνέστη πλούσιος καὶ ἔνδοξος γεγονώς. Ἐπειδὴ δὲ ὁ καιρὸς ἦλθεν, ὁ Βενὼρ οὔτ' ἐξουσίας ἔτυχεν οὔτε τιμωρίας· ἀλλὰ εἰρήνης καὶ δὴ Ἄρχοντος εἰρήνης.

Adapted by
DANA E. DUTCH
Illustrated by
GUSTAV SCHROTTER


Μεσσάλας ὁ Ῥωμαῖος καὶ Βενὼρ ὁ εὐγενὴς Ἰουδαῖος, παῖδες ὄντες, ἐγεγόνεσαν φίλοι ἐν τοῖς Ἱεροσολύμοις, ὅπου ὁ πατὴρ τοῦ Μεσσάλα ἄρχων Καίσαρος ἦν.
Ἅλις ὕβρισμαι ὑπὸ σοῦ, ὦ Μεσσάλα. Οὐ μὴν τοιοῦτος ἰὸς ἐνῆν τῇ φύσει σου πρὶν εἰς τὴν Ῥώμην πρὸ πέντε ἐτῶν ἀπῆλθες εἰς τὸ γυμνάσιον.
Ἤλλαγμαι δήπου ἔγωγε. Πάντες μὲν γὰρ ἀλλάσσονται, οὐδέποτε οἱ Ἰουδαῖοι.


Μεινον. Οὔπω διεπραξάμην μετά σου.
Ἀλλ' ἄμεινόν ἐστιν ἡμᾶς ἀπελθεῖν. Σὺ γὰρ καυχώμενος ἅτε Ῥωμαῖος ἀναγκάζεις με μισεῖν σε.


Μὴ μώραινε, ὦ Βενώρ. Ἀποβαλὼν τὴν παράδοσιν τῶν Ἰουδαίων ὁμοιώθητι ἐμοῖ Ῥωμαίῳ ὄντι. Οὐ γὰρ δεῖ σε ἡσσᾶσθαι.
Σὺ μᾶλλον μωραίνεις, ὦ Μεσσάλα. Παρῆσαν μὲν γὰρ κύριοι τῆς Ἰουδαίας πρὶν οἱ ἐθνικοὶ Ρωμαῖοι ἦλθον, ἡ δὲ Ἰουδαία περιῆν πάντων. Καὶ δὴ τὰ γεγενημένα πάλιν αὖθις γενήσεται.


Οὐ μὴ τοῦτο γένηται, νῦν Ῥώμη ὁ κόσμος. Προσθέμενος οὖν ἐμοί, γενοῦ στρατιώτης Καίσαρος. Ἀναστησόμεθα γὰρ εἰς ἐξουσίαν καὶ κράτος τοῦ πλήθους τοῦ λαοῦ σου.
Οὐδαμῶς. Σοὶ μὲν ἔξεστι Ῥωμαίῳ ὄντι μάχεσθαι ὑπὲρ Ῥώμης. Ἐμοὶ δὲ Ἰουδαίῳ ὄντι πάντες οἱ Ῥωμαῖοι ἐχθροί εἰσιν. Μάχομαι ἄρα κατὰ τῆς Ῥώμης τε καὶ ὑπὲρ τῆς ἐλευθερίας.


Αὔθαδες καὶ μωρέ. Ἐγὼ μὲν παρέχω σοι φιλίαν. Σὺ δέ μ' ἀπωσάμενος πεποίηκας ἐχθρὸν πικρόν. Ταχὺ δ' ἐπὶ γόνασιν ὢν ἔλεος παραιτήσῃ. Φύλαξαι, Βενώρ. Καθελῶ γάρ σε.
Καὶ σύ, Μεσσάλα. Καὶ Ῥώμη φυλαξάσθω λαὸν τὸν ἀδικούμενον. Διότι ἰδοὺ ἡμέρα ἔρχεται καὶ οὐκέτι ἔσται ἡ Ῥώμη καὶ ἡμεῖς, τὸ γένος ὑπὸ τοῦ Θεοῦ ἐκλεκτόν, κυριεύσομεν ὥσπερ πρέπει ἡμῖν.


Γεγονότος νέου ζῶν μίσους τῆς τε Ῥώμης καὶ τοῦ ποτε φίλου, ὁ Βενὼρ ἀναστρέφεται εἰς τὴν τῆς μητρὸς οἰκίαν ἐν τοῖς Ἱεροσολύμοις, ἐν τῷ ὄρει Σιών.
Ἔγνωκα νῦν. Ἀπορῶ δὲ πῶς ἡ μήτηρ καὶ Θερσὰ ἡ ἀδελφὴ τὴν ἀγγελίαν δέξονται.


Βενὼρ εὑρίσκει τὴν μετέρα καὶ Θερσὰ τὴν ἀδελφὴν ἐν τῷ κρεμαστῷ κήπῳ τῆς οἰκίας αὐτῶν.
Μεσσάλας καὶ ἐγὼ πικρῶς ἠρίσαμεν ἀλλήλοις. Ὁ μὲν πάντως Ῥωμαῖός ἐστιν, ἐγὼ δὲ μισῶ αὐτόν τε καὶ τὰ Ῥωμαϊκὰ λοιπά.
Φύλαξαι, ἄδελφε· δεῖ σε ἐπιμελέστερον εἶναι. Προσάξεις γὰρ πάντας ἡμᾶς εἰς κακόν.
Σὺ ἡ δόξα μου. Τὸ γὰρ μονογενὲς τέκνον μου ἔσται ποτὲ ἡγεμὼν τοῦ λαοῦ αὐτοῦ.


Ἔστι μόνη ὁδὸς τοῦ συντρίβειν τὴν τῶν Ῥωμαίων ἀρχήν, μῆτερ. Χωρήσω ἄρα εἰς Ῥώμην ἵνα τὴν πολεμικὴν μάθω, ὥσπερ ἕκαστος Ῥωμαῖος στρατιώτης διδάσκεται.
Ἔχεις τὴν εὐλογίαν μου, τέκνον, εἰ μέλλεις λατρεύειν Κυρίῳ τῷ Θεῷ Ἰσραήλ, μηδὲ Καίσαρι Αὐγούστῳ τῷ αὐτοκράτορι. Ἡ δὲ πίστις τῶν πατέρων σου δότω σοι ἀρετήν τε καὶ δύναμιν.


Ἀλλ' ὁ τοῦ Βενὼρ κίνδυνος ἤρξατο πρῷ τῇ ὑστεραίᾳ. Σπεῖρα γάρ τις Ῥωμαίων στρατιωτῶν, οἵτινες τὸν νέον Ῥωμαῖον τῶν Ἱεροσολύμων ἡγεμόνα ἐδορυφόρουν, διὰ τῆς ὁδοῦ ἐπορεύετο παρὰ τὴν οἰκίαν τοῦ Ὢρ.


Ἰδού. Ὁ νέος Ῥωμαῖος κύριος ἡμῶν προσέρχεται. Ὡς ὑπερήφανος φαίνεται.
Ἄκουσον πόσα ὁ ὄχλος ἀπὸ τῶν ὀροφῶν καὶ τῶν θυρίδων σκώπτει αὐτόν. Νομίζω δ' ὅτι ἑτοῖμοί εἰσιν ἐπανίστασθαι.


Τοῦ Ῥωμαίου ἡγεμόνος κατ' εὐθὺ κάτω διερχομένου, κέραμός τις χαλαρὸς διεκπίπτει ἐκ τῆς χειρὸς τοῦ Βενὼρ βαρούσης.
Φυλάξασθε, φυλάξασθε, οἱ κάτω.
Οἴμοι, τί πεποίηκας, ἄδελφε; Εἰ τύψαι τὸν ἡγεμόνα ...


Κέραμος βληθεὶς ὑπό τινος τῶν σκωπτόντων Ἰουδαίων ἀπέκτονε τὸν ἡγεμόνα.


Ανω. Εἶδον τὸν φονέα ῥίπτοντα τὸν κέραμον.
Κατάξαντες τὴν θύραν διαζητεῖτε τὸν οἶκον. Πάντως μὴ ἐκφυγέτω.


Εἶδόν σε, ἄδελφε. Εἰσπεσόντες οὖν καθαιρήσουσι τὸν οἶκον ἕως ἂν εὕρωσίν σε. Φεῦγε, σῷζε σαυτόν.
Οὐχί, ἀλλ' ἐνταῦθα προσδόκα με. Μὴ ἡ μήτηρ τρωθῇ. Διηγήσομαι δ' ὅτι ἐκ τύχης τοῦτ' ἐγένετο, ἐὰν μόνον εἰς τὸν ἡγεμόνα ἀφίκωμαι.



Κλαυθμοὶ ἀνθρώπων τε καὶ πάταγος δοκῶν ἐπιπίπτουσιν τοῖς τοῦ Βενὼρ ὦσιν, τῶν Ῥωμαίων στρατιωτῶν ὀλεθρὸν φερόντων διὰ τῆς οἰκίας σκληρῶς διαζητούντων.
Ταῦτα τὰ ἀνελεήμονα θηρία καταβάλλουσιν τοὺς ὑπηρέτας, ῥήγνυσιν τὰς θύρας τῶν δωματίων. Κραυγὴν γυναῖκός τινος· τῆς ἐμῆς δὴ μητρός.




Μὴ φοβηθῇς, μῆτερ. Οὐδὲν γὰρ βίᾳ ἐποίησα. Ἐγὼ τοίνυν μετ' αὐτῶν διαλογίσομαι ὥστε συνήσουσιν ἐκ τύχης τοῦτο γενόμενον.
Μηδαμῶς, τέκνον. Οὐδὲν γὰρ παύσει ταῦτα τὰ θηρία. Ἀλλὰ κατάλιπέ με ταῖς τιμωρίαις αὐτῶν. Καὶ σύγε φεῦγε, σῷζε σαυτόν.




Μεσσάλας, ταῖς τῶν στρατιωτῶν βοαῖς ἐκεῖσε προσαχθείς, ἑτοῖμός ἐστι προδοῦναι τοῦτον ὅς ποτ' ἦν φίλος
Τί; εκεινοσὶ μόνον παῖς ἐστιν. Ἆρα μὴ ἐκεῖνος δὴ φονεῦς;
Οὐκ ἔστιν ἀμφισβητέον. Σύλλαβε πάντας αὐτούς. Οἶδα γὰρ αὐτοὺς ὀμωμοκότας ἐχθρὰν εἰς τὴν Ῥώμην.




Ἀκούσας τἀληθῆ, βοήθησόν μοι, ὦ Μεσσάλα. Μὴ ἐπίτρεπε αὐτοῖς τήν τε μητέρα καὶ τὴν ἀδελφὴν ἀποσπᾶν, δέομαί σου.
Οὐκ ἐθέλω σ' ἀπαλλάξαι ἀπὸ τοῦ δικαίου. Ἡ γὰρ φιλία ἡμῶν τέθνηκεν. Ἐγὼ πιστὸς Ῥωμαῖός εἰμι.




Τοῦ Μεσσάλα καταφρονήσαντος τὴν τοῦ Βενὼρ δέησιν καὶ εἰς τὴν ὁδὸν ἐπιστρεφομένου, ἡ Θερσὰ ἐμπίπτει εἰς τὰς χεῖρας τῶν στρατιωτῶν. Νῦν δ' ἡ ἐλπὶς τοῦ ἐκφύγειν πᾶσα ἀπόλωλεν:
Ἐν τῇ ὥρᾳ τῆς τιμωρίας σου, Κύριε, ἐμὴ εἴη ἡ κολάσουσα τὸν Μεσσάλαν χείρ.

Πᾶσαι αἱ πεῖραι τοῦ Βενὼρ μάταιαί εἰσιν. Πρὸ δὲ τῶν ὀφθαλμῶν αὐτοῦ ἐκπεπληγμένου, ἡ Θερσὰ καὶ ἡ μήτηρ ὡς οἱ κατώτατοι κακοῦργοι πάσχουσιν.




Ἕλκετε τὰς γυναῖκας εἰς τὸν πύργον. Δήσ-ατε τὸν νέον φονέα καὶ ἐπισφραγίσατε ταύτην. τὴν ἄτιμον οἰκίαν.



Ἐν οὖν ὀλίγῳ χρόνῳ ἡ μακαρία νεότης τοῦ Βενὼρ φοβερῶς ἀπεπαύσατο. Ἡ μὲν μήτηρ αὐτοῦ καὶ ἡ ἀδελφὴ ἀπεσπάσθησαν, ἡ δὲ οἰκία μιανθεῖσα ἡρπάσθη, ἡ δὲ ψυχὴ ἐν τῇ τῶν Ῥωμαίων δυνάμει ἐκινδυνεύετο.




Ὁ μὲν Βενὼρ ὀλίγον προσεῖχε πότερον τευξομένῳ αὐτῷ βασά-νου ἢ θανάτου ἢ δουλείας. Πάσαι δὲ αἱ εὐχαὶ αὐτοῦ ἦσαν ὑπὲρ τῆς μητρὸς καὶ τῆς ἀδελφῆς, τῶν στρατιωτῶν σπευδόντων αὐτὸν εἰς τὸ δεσμωτήριον.



Εἰ καὶ ὁ βληθεὶς κέραμος οὐκ ἀπεκτόνει τὸν ἡγεμόνα, ἡ ὀργὴ αὐτοῦ ἐσχάτη ἦν. Ὁ δὲ τῶν ἐνόχων κρύφα ἄνευ κρίσεως καταγνούς, ἔπεμψε στρατιῶτα πρὸς τὸν οἶκον τοῦ Ὢρ ἵνα πίναξ ἐκκέοιτο.




## Μέρος β'
## Ὑπηρεσία κατὰ θάλασσαν

Ὁ Βενὼρ παρεδόθη εἰς τὴν καταπονοῦσαν διὰ βίον ὑπηρεσίαν ἐν τοῖς κωπηλάταις, οἵτινες ὅμοιοί γε τοῖς νεκροῖς γενόμενοι ἐπὶ τῶν τοῦ Ῥωμαϊκοῦ ναυτικοῦ νεῶν ἦσαν.

Πορευόμενος δὲ πρὸς τὸν ἐγγύτατον λιμένα, ἔπεσε τετρυχωμένος καθ' ὁδόν. Οἱ μὲν στρατιῶται οὔκ ᾤκτειρον αὐτόν, οἱ δὲ κωμῆται οὐκ ἐτόλμων βοηθεῖν.


Ἐκεῖσε δ'ὁ πραῢς Ἰωσὴφ ἦλθεν, ὁ τέκτων ἀπὸ τῆς πλησίον πόλεως Ναζαρέθ. Ἠκολούθει δ'αὐτῷ ὁ νέος μαθητὴς αὐτοῦ, παῖς σχεδὸν ἡλίκος τῷ Βενώρ ὤν.


Ἔπειτα ὁ νεανίσκος, καταθέμενος τὰ ὄργανα, ἐλθὼν εἰς τὸ φρέαρ, κεράμῳ ἤρυσεν ὕδωρ. Καὶ κύψας εἰς τὸν δεσμώτην, ἔδωκεν αὐτῷ πιεῖν. Οὐδεμίαν δὲ φωνὴν ἐφθέγξαντο. Ὥστε ὁ Βενὼρ καὶ ὁ υἱὸς τῆς Μαρίας, τὸ πρότερον συντυχόντες, ἀπηλλάχθησαν ἀλλήλων.




Ὁ Βενὼρ ἔτη τρία ἐπόνησεν ἐρέσσων ἐν τῇ Ῥωμαϊκῇ νηΐ. Οἱ δ' ὑπηρέται κατασεσιγασμένοι τοιοῦτον βίον ἐβίουν ὥστε τὴν μὲν ψυχὴν συνεχῶς κακοπαθεῖν, τὸ δὲ σῶμα θαυμασίως καρτερὸν γίγνεσθαι.


Κρύφα δὲ τῶν ὑπηρετῶν, ἡ ναῦς αὐτῶν ἦν μεγάλου Ῥωμαϊκοῦ ναυτικοῦ ναυαρχίς, τοῦ εὐδόξου ναυάρχου Κοΐντου Ἀρρίου στρατηγοῦντος.
Καῖσαρ ἐκέλευσέ με καθελεῖν τὸ μέγα τῶν λῃστῶν ναυτικόν, τὸ κακοῦν τὰς τῶν ἐμπόρων ὁδοὺς ἐν τῷ Αἰγαίῳ πελάγει.



Κώπαις τε καὶ ἱστοῖς τὸ πλέον ἑκατὸν Ῥωμαϊκῶν νεῶν ναυτικὸν ἐπορεύθη μάχεσθαι τοῖς δεινοῖς λῃσταῖς ἐν τῷ κευθμῶνι αὐτῶν.



Ὁ Βενὼρ, τὰ μὲν ἰσχυρὸς τὸ σῶμα ὤν, τὰ δὲ μακρῷ τε καὶ ὁμαλῷ ὠθισμῷ ἐρέσσων, συνώφθη ὑπὸ τοῦ ἐξετάζοντος ναυάρχου.
Ἆρα ἔγνως τὸν ἑξηκοστὸν ὑπηρέτην; Ἰουδαῖος γάρ ἐστι καὶ δὴ νέος. Πρὸς τῶν θεῶν, θαυμάζω τὸν ἄνθρωμπον.
Ἐκεῖνος ἐστιν ὁ βελτιστος ἐρέτης ἡμῶν. Εἶδον γὰρ αὐτὸν κάμπτοντα τὴν κώπην ὥστε σχεδὸν καταρραγῆναι.



Εὐπειθὴς ὤν, ὡμολόγησε συμπράσσειν ὁπότε χρεία εἴη καὶ ἐν χειμῶνι καὶ ἐν μάχῃ.
Εἰ παρείην ἐπὶ τοῦ καταστρώματος, ὅταν ἔλθῃ ὁ χρόνος τοῦ ἀναπαύεσθαι, πέμψον αὐτὸν πρός με. Ἐλθέτω δὲ μόνος.


Ἡ μὲν τοῦ ναυάρχου κέλευσις διαπράσσεται, ὁ δὲ Βενὼρ πρὸς τὸ ἐρωτώμενον αὐτοῦ ἀποκρινόμενος διηγεῖται τὴν τύχην καὶ τὰ συμβεβηκότα.
Πρόσθεν ἀκούσας ταῦτα, ᾤμην ἅπαντας τοὺς Ὥρ ἀποθανεῖν. Πολὺ δ' ᾐδούμην τὸν τεθνηκότα πατέρα σου. Σύ γε, υἱὸς αὐτοῦ ὤν, οὐκοῦν δικαίως διεκρίθης;
Οὐχί, κύριε. Οὐ γὰρ ἐξῆν μοι λαλεῖν.


Τίνος ἂν ἐπεθύμεις εἰ ἐλεύθερος ἦσθα καὶ ᾔδεις τὴν μετέρα τε καὶ τὴν ἀδελφήν σου τεθνηκυίας;
Στρατιώτης ἐγιγνόμην ἄν, κύριε, ἀσκούμενος εἰς πόλεμον ἐν Ῥωμαϊκῷ στρατοπέδω


Ἐξαίφνης δ' ὁ ναύαρχος γίγνεται τραχύς, ὅτι ἀναμιμνήσκεται μὴ δεσπότην φιλίᾳ χρῆσθαι περὶ δοῦλον.
Ἰὼν μὴ ἐλπίδα λάβῃς ἐν ᾧ μεταξὺ ἡμῶν ἐγένετο. Μηδὲ ἐπιλάθῃ ποτὲ τοῦ σὲ μὲν Ἰουδαῖον εἶναι οὐδὲ Ῥωμαῖον.
Καυχῶμαι μὲν υἱὸς τοῦ Ἰσραὴλ ὤν, κύριε, χάριν δὲ ἔχω σοὶ τοῦ χαρίσασθαί μοι. Ἔρρωσο.


Μετὰ ὀλίγας ἡμέρας, τοῦ τῶν λῃστῶν ναυτικοῦ ἐπιφανέντος, ἡ σάλπιγξ σημαίνει. Ἐνομίζετο δὲ πρὸ τῆς μαχῆς τοὺς ὑπηρέτας πέδαις δεθῆναι πρὸς τὰ ἑδώλια. Διόπερ εἰ ἡ ναῦς ἢ καταδύοιτο ἢ πεπρησμένη εἴη, ἀνάγκη ἂν τοὺς ὑπηρέτας ἅμα αὐτῇ ἀπολέσθαι.
Ἀκούω δη καὶ πόδας καταπατοῦντας καὶ ὅπλα ψοφοῦντα ἐν τῷ ἐπὶ τοῦ καταστρώματος θορύβῳ. Ἀπορῶ οὖν τίνι αἱ νῆες μάχην συνάψουσιν.


Ὁ φύλαξ διαπορευθεὶς πρὸς τὸν ἐγγύτατον ὑπηρέτην καταλείπει τὸ τοῦ Βενὼρ σφυρὸν λελυμένον.
Μόνον κελεύσει παρὰ τοῦ ναυάρχου ηὐτύχησα ἂν τοῦτο τὸ εὐτύχημα. Ἐλπὶς δή ἐστί μοι ἐλευθερωθῆναι, ἐὰν αὐτὴ ἡ ναῦς νικήσῃ μάχην.




Ἀλλὰ τοῦ μὲν πρῴρου τῶν λῃστῶν πλοίου φλεγομένου, δῆλον δ' ἔστιν ὅτι ἄλλο διαφθορὰν τῇ τῶν Ῥωμαίων νηΐ φέρει, ἔμβαλον ἐπὶ τὸ πρὸς τῇ θαλάσσῃ μέρος αὐτῆς.

Σφάζετε τοὺς Ῥωμαϊκοὺς κύνας. Μὴ ἐάσητε μηδένα περιβιοῦν ὥστε πηδᾶν εἰς θάλασσαν.

Τῆς μεγάλης νεὼς κυλινδουμένης, φόβος ἐμπίπτει τοῖς ὑπὸ τοῦ καταστρώματος. Τοῦ γὰρ Βενὼρ εἰς σωτηρίαν προιέναι πειρωμένου, οἱ μὲν ὑπηρέται δεδεμένοι κράζουσιν, οἱ δὲ ἐπιβάται τραυματισθέντες ὀδύρονται.








Κατέδυ ἄρα ἡ τῶν Ῥωμαίων ναῦς αὐτοῖς τοῖς ὑπηρέταις κράζουσιν καὶ τοῖς φύλαξιν νενικημένοις καὶ τῷ ἡγεμόνι, τῷ ναυάρχῳ, καὶ τῷ Βενώρ.





Ἀγαθῇ τύχῃ ὁ Βενὼρ βραδέως διὰ τὴν ἀνεῳγμένην θύραν ἀνανεῖ, τῆς νεὼς εἰς βάθη τοῦ Αἰγαίου πελάγους καταδυούσης.



Ὁ ἀσθμαίνων Βενὼρ διὰ τοῦ ὀξέος τῆς μάχης καπνοῦ ἄλλους περιόντας πανταχοῦ ζητεῖ.




Ο δὲ Βενὼρ οὐκ ὁρᾷ τὸν ἐπιόντα κίνδυνον. Ἄλλη γὰρ τριήρης ἐπειγομένη πλοῖόν τι ληστικὸν καταλαβεῖν οὐ φείσεται τῶν ἐν τῇ θαλάσσῃ πειρωμένων.
Ἰδοὺ ὁ Κοΐντος Ἄρριος, ὁ ναύαρχος τοῦ ναυτικοῦ. Σώσατε αὐτόν.


Η μὲν τριήρης αὐτοὺς ὅσον οὐ καταβάλλει, διώκουσα τοὺς λῃστὰς φεύγοντας. Τῇ δὲ ὥρᾳ τῆς νίκης, ὁ ναύαρχος ὁρᾷ τῷ ἰσχυρῷ τε καὶ ἀνδρείῳ Βενὼρ τὴν ζωὴν ὀφείλων.
Ἰδού, σκαφίδιον ἔρχεται βοήθησον ἡμῖν. Σύγε μὲν λαμπρὰν νίκην νενίκηκας, ἡ δὲ Ῥώμη πάσας τιμὰς τιμήσει σε.
Εἰ μὴ παρεγένου, οὐκ ἂν νῦν ἐβίουν. Ἐπειδὴ οὐκ ἔχω υἱὸν ἐμόν, σύγε τοὐντεῦθεν οἴσῃ τοὔνομά μου.


Οὐ δύνασαι Ῥωμαῖον ἐμὲ ποιῆσαι. Ἰουδαῖος γάρ εἰμι, ὀφείλω οὖν τῷ Θεῷ μού τε καὶ Μωϋσέως πιστεύειν καὶ τῷ Ἰσραὴλ ἀεὶ ἡ πίστις ἔσται.
Σὺ μεθέξεις τοῦ ἀξιώματός μού τε καὶ τῆς οὐσίας. Τοὐντεῦθεν δ' οὐδεὶς βλάψαι σε τολμήσει.


Ὁ Βενὼρ οἶδε τοῦτον τὸν γενναῖον λόγον παρασκευάσοντα ἐξουσίαν τιμωρεῖσθαι καὶ Μεσσάλαν καὶ τοὺς Ῥωμαίους, τοὺς κατατρίβοντας τὸν λαὸν αὐτοῦ.
Δράσω μὲν ὡς αἰτεῖ καὶ γενήσομαι ὁ ποιητὸς υἱὸς αὐτοῦ, ἐν δὲ τῇ καρδίᾳ μου πιστὸς τῷ ἑνί τε καὶ ἀληθινῷ Θεῷ διαμένων ζητήσω τὴν ἐλευθερίαν ὑπὲρ τῆς πατρίδος.


Ἐπανερχόμενος οὖν νενικηκὼς εἰς τὸν τῶν Ῥωμαίων λιμένα, ὁ Κοΐντος Ἄρριος ἔτυχεν ὧν ἐπετεθυμήκει.
Ἐπειδὴ ἔσωσε τὸν βίον μου, τόνδε τὸν ἀνδρεῖον νεανίαν υἱόν τε καὶ κληρονόμον πεποίηκα. Τοὐντεῦθεν ἄρα μόνον τοὔνομά μου κληθήσεται.
Ἐκείνῳ δώσομεν τὴν αὐτὴν τιμήν, ὦ γενναῖε Ἄρριε, οἵαν δίδομεν σοί.

# Μέρος γ'

## Ἡ μακρὰ ὁδὸς εἰς τὴν τιμωρίαν.

Ἐν τῇ Ῥώμῃ, πέντε ἔτεσιν ὕστερον, ἡ τύχη τοῦ Βενὼρ μετεβέβλητο. Ὁ δὲ, υἱὸς τοῦ ναυράρχου Ἀρρίου ὤν, εὖ ἤσκητο ἐν τῇ τε πολεμικῇ καὶ ἐν τοῖς δεινοῖς τῶν Ῥωμαίων ἀγῶσιν. Παρὰ δὲ πάντα τὸν χρόνον λήθη μὲν ἦν τοῦ Βενὼρ ἔτι Ἰουδαίου ὄντος, ὁ γὰρ οὕτως εἶχεν ὥσπερ Ῥωμαῖος νεανίας.

Νῦν δέ, τοῦ ποιητοῦ πατρὸς θανόντος, ὁ Βενὼρ ἐγένετο πλούσιός τε καὶ δυνατός, ᾧ ἔξεστι καὶ τιμωρεῖσθαι Μεσσάλαν καὶ διὰ ἐτῶν ἠσκημένον σχολάζειν τῷ ἀπολλύναι τοὺς Ῥωμαίους δεσπότας.

Εὐθὺς οὖν ἐνέβη νεὼς ἐμπορικῆς ἀναγομένης εἰς Ἀντιόχειαν, ὡς ἐκεῖ τὸν Μεσσάλαν ζητήσων.





Τῆς νεὼς εἰς τὸν ἐν Ἀντιοχείᾳ λιμένα πλεούσης, περίεργος γίγνεται ὁ Βενώρ.
Ναύκληρε, τίνος ἐστὶν ἐκεῖνα τὰ πλοῖα τὰ ἔχοντα ἱστίον μήλινον;
Σιμωνίδου ἐστίν, τοῦ πλουσιωτάτου ἐμπόρου. Ὄνομα μὲν Ἑλληνικόν ἐστιν αὐτῷ, ὃς δ' Ἰουδαῖός ἐστιν, ἀπελεύθερος τοῦ παλαιοῦ οἴκου Ὧρ ὤν.


Τί λέγεις; Ἆρα μὴ νῦν οἱ δοῦλοι οὕτως αὐξάνονται ὥστε ὅμοιοι τοῖς ἑαυτῶν δεσπόταις πρὸς τὰ χρήματα εἶναι;
Τοῦ κυριοῦ ἀποθάνοντος, εὐθὺς ἀφανὴς ἐγένετο ὁ οἶκος, ὅτι ὁ νέος υἱὸς συνελήφθη πειρώμενος τὸν Ῥωμαῖον ἡγεμόνα ἀποκτεῖναι.


Ἀλλὰ τούτων οὕτως ἐχόντων, ἀνάγκη ἦν τοὺς Ῥωμαίους πάντα τοῦ οἴκου χρήματα δημεῦσαι.
Ὁ Σιμωνίδης δεῖνός ἐστιν. Ὁ δὲ, ἐπίτροπος τῶν Ὧρ ἐν τῇ Ἀντιοχείᾳ ὤν, ἀπὸ τῶν Ῥωμαίων πολλὰς ναυς τε καὶ φορτία ἀπέκρυπτεν. Δὶς ἐβασάνισαν αὐτόν, οὐδὲν δὲ ἐπύθοντο.



Λέγεται δὴ ἅπαντα τῷ Σιμωνίδῃ παρατιθέμενα χρυσᾶ γίγνεσθαι. Διὰ γὰρ ὀκτὼ ἔτη πολλάκις ἐδιπλασίασε τὰ χρήματα.
Θαυμαστὸς ὁ μῦθος. Χάριν ἔχω σοι ὅτι διήγησαι, ναύκληρε.
Χρή με εἰς τὴν γῆν σπεύδειν ζητήσων τὸν Σιμωνίδην. Οὗτος γὰρ ἔτι πιστὸς ἴσως ἐστὶν ὥστε φυλάσσειν ταῦτα τὰ χρήματα ὑπὲρ ἐμοῦ. Καὶ δήπου οἶδε τὰ γενόμενα τῇ τε μητρί μου καὶ τῇ ἀδελφῇ.


Ἅμα εἰς Ἀντιόχειαν εἰσεληλυθώς, ὁ Βενὼρ εὑρίσκει τόν τε Ἄρεα καὶ τὸ Ἔρωτα προσδοκοῦντας αὐτόν.
Φυλάξασθε, μὴ τὸ ἅρμα προσπέσῃ ὑμῖν.


Κατάπτυστε Ῥωμαῖε, πῶς οὐχ ὀλιγωρεῖς τοῦ ἀλλοτρίου βίου;


Χάριν πλείστην οἶδά σοι, ὦ ἀνδρεῖε ξένε. Βαλτασὰρ μέν εἰμι, ὁ ἀπὸ γῆς Αἰγύπτου. Αὕτη δ' ἐστὶν Ἰράς, ἡ θυγάτηρ μου.
Θαυμασία ἡ τύχη, πάτερ. Ὅτι ὁ εἷς εὐγενὴς νεανίας ἀπέκτεινεν ἂν ἡμᾶς, εἰ μὴ ὁ ἀνδρεῖος ἕτερος παρεγένετο.
Πρὸς τῶν θεῶν, ὡς γενναῖα καὶ καλὴ εἶ. Ἆρα συγγνωστός εἰμι τῆς ἀβουλίας μου;


Ἐκεῖνός ἐστιν ὁ μέγας Μεσσάλας, ᾧ σὺ φανερῶς κατηράσω.
Διόπερ, ὦ χαρίεσσα γύναι, εἰ καὶ θαῦμα δοκεῖ, νῦν δὴ συντετύχηκα καὶ τῷ ἀνδρὶ ὃν μισῶ καὶ τῇ γυναικὶ ᾗ ἔρωτι νικῴη ἄν με.


Ἐπειδὴ ἐξαίφνης ἀπήντησε τῇ τε καλῇ Αἰγυπτίᾳ καὶ τῷ ἐχθίστῳ Μεσσάλᾳ, ὁ Βενὼρ ζητεῖ τὸν τοῦ πατρὸς ἀπελεύθερον, τὸν πλούσιον Σιμωνίδην.
Εἶπε τῷ κυρίῳ σου ὅτι τις, ὃν παιδίον ὄντα ἐπὶ τῶν γονάτων ἔσχες, ἐπιθυμεῖ διαλέγεσθαί σοι.
Ἐμοὶ ἐμπείρῳ ὄντι μᾶλλον δοκεῖς Ἰουδαῖος ἢ Ῥωμαῖος, ἀγαθὲ ἄνερ. Ἀκολούθει μοι.


Πρῶτον ὕποπτος γενόμενος, ὁ Σιμωνίδης ταχέως πείθεται τῷ τοῦ νεανίου θαυμασίῳ μύθῳ ὅτι οὗτος δὴ υἱὸς καὶ κληρόνομος τοῦ οἴκου Ὧρ ἐστιν.
..καὶ μετὰ τὰ δεινὰ ἐμοὶ καὶ τῷ οἴκῳ συμβάντα, πλούσιός τε καὶ δυνατὸς ἐγενόμην. Νῦν δὲ ἐπανέρχομαι εἰς τὰ Ἱεροσόλυμα, ὅπου τῷ ὀνόματί μου τῷ δικαίῳ ἀνακαλέσομαι.
Αἱ ἄρα προσευχαί μου εἰσηκούσθησαν, καὶ γὰρ πεφύλαχά τε καὶ ηὔξηκα τὴν οὐσίαν σου, παρ' ἐλπίδα ἐλπίζων σε ἔτι ζῆν.


Ἐμοὶ πιστεύε, ἀγαθὲ Σιμωνίδα, περὶ τῶν τῇ τε μητρὶ καὶ τῇ ἀδελφῇ γενομένων ὡς μαλίστα μέλει μοι. Ἕως ἂν εὕρω τοὺς τάφους αὐτῶν, οὐ μὴ ἀποπαύσομαι τοῦ αὐτὰς ζητεῖν.
Ἐπιτρόπους μὲν ἔχω ἐν τοῖς Ἱεροσολύμοις, οὐδὲν δὲ περὶ τῆς τε μητρός σου καὶ τῆς Θερσὰ ἠκούσθη ἐξ οὗ εἰς τὸ τῶν Ῥωμαίων δεσμωτήριον ἐνεβλήθησαν.


Νῦν πλουσιώτατος ἐν τῇ τῶν Ῥωμαίων βασιλείᾳ πολίτης εἶ. Εἰ μὴ ἐπεστράφης, ἐπεμελησάμην ἂν ταύτης τῆς εὐπορίας ὅπως πάντες οἱ Ῥωμαῖοι, οἱ ἡμέτεροι δεσπόται, ἀπολλύωσιν.
Ὄμνυμι τὸν Θεὸν τοῦ Ἰσραὴλ οὕτω γενήσεσθαι ὥσπερ παρεσκεύασαι. Κατάρατος οὖν ἡ Ῥώμη πᾶσιν τοῖς Ῥωμαίοις.


Ὁ χρόνος ἐπέρχεταί τι πράττειν. Διὰ γὰρ πολλοὺς ἐνιαυτοὺς ἀκοὴ θαυμασία τίς ἐστιν μέγαν ἡγεμόνα ἐν βραχεῖ φανήσεσθαι ἐν τοῖς Ἰουδαίοις. Ἤκουσα τοῦ Βαλτασάρ, σοφοῦ τε καὶ πολυμαθοῦς ὁδοιπόρου ἀπ' Αἰγύπτου ὄντος, πάλαι πολλὰ ἤδη ἔτη παιδίον ἰδόντος καὶ ὀμνύντος τοῦτο γεννηθῆναι ὥστε τὸν τῶν Ἰουδαίων βασιλέα εἶναι.



Ὁ τοῦ Βενὼρ θυμὸς διὰ τὸ τοῦ Σιμωνίδου ἄγγελμα πρὸς πόλεμον ἐγείρεταί τε καὶ φλέγεται.
Διὰ πολλῶν ἐτῶν οἱ προφῆται πεπροφήτευκαν Χριστὸν ἐρχόμενον, ὅστις ἡγήσεται τῷ λαῷ ἡμῶν ὥστε ἄρχοντας τῆς οἰκουμένης γενέσθαι. Ὅταν δ' ὁ καινὸς βασιλεὺς ἡμῶν φανῇ, χρείαν ἕξει στρατιωτῶν τε καὶ χρημάτων. Δύναμαι ἔγωγε συλλαμβάνεσθαι αὐτῷ εἰς ταῦτα.


Πορευθεὶς λάλησον τῷ Βαλτασὰρ ἵνα γιγνώσκῃς ὅ τι εἶδε, μηδὲ πλεῖον πιστεύει πᾶσιν τοῖς ῥήμασιν αὐτοῦ. Ἐπαγγέλλεται γὰρ ἐκεῖνον τὸν βασιλέα οὔτε ζητήσειν ἐξουσίαν οὔτε δόξαν οὔτε τιμωρίαν τὴν ἡμῖν προσήκουσαν.
Ὁ ἄρα Βαλτασὰρ οὐκ ἀνέγνωκε τοὺς προφήτας. Ὁ γὰρ Χριστὸς τοιοῦτος πολεμιστὴς ἔσται οἷος ὁ βασιλεὺς Δαυὶδ καὶ τοιαύτην δύναμιν ἕξει οἵῃ τὴν Ῥώμην συντρίψει.


Ἐξαίφνης γλυκὺ καὶ καλόν τι ἐναντίον αὐτῶν φαίνεται. Ὁ δὲ Βενὼρ θαυμάζει παραβάλλων ταύτην τὴν ἁγνήν τε καὶ καλὴν παρθένον ἐκείνῃ τῇ Αἰγυπτίᾳ, ᾗ πρωῒ ἀπήντησεν, ἐπαφροδίτῳ ξένῃ.
Ἰδού, ἡ θυγάτηρ μου Ἐσθήρ. Καὶ ἡ μήτηρ αὐτῆς ἦν δούλη τοῦ πατρός σου. Οὗτός ἐστιν, ὦ φίλη, ὁ υἱὸς ὃν πάντες ηὐχόμεθα ἐπανίεναι.
Ὦ, ὡς ἐρρωμένος καὶ εὐπρεπής ἐστι, πάτερ.
Ἡ εὔνοια τοιαύτης τιμιωτέρα τοῦ χρυσοῦ. Οὐκ ἐπιλήσομαι ταύτης τῆς καλῆς.


Δεῖ με ὀλίγα μετὰ τοῦ νέου κυρίου λέγειν, Ἐσθήρ. Ἀπελθοῦσα οὖν, δέομαί σου, πέμψον πρὸς ἐμὲ Μαλὼχ τὸν δοῦλόν μου, ὅστις τοὐντεῦθεν ἔσται τῷ Βενὼρ φίλος τε καὶ φύλαξ.
Ποιήσω, πάτερ.


Ὁ Μαλὼχ ἄξει σε πρὸς τὸν Βαλτασάρ, ξενιζόμενον ὑπὸ τοῦ πρεσβυτέρου Ἰλδεριμοῦ, τοῦ ἐκ τῆς ἐρήμου χώρας δυνατοῦ. Τὸ δὲ στρατόπεδον αὐτοῦ ὀνομάζεται ὁ φοινικών.
Εὐθὺς μὲν εἶμι, ὁ δὲ Βαλτασὰρ ἤδη οἶδέ με. Καλῶς γὰρ συνέβη μοι τὸ αὐτὸν ἅμα τῇ θυγατρὶ ἐκ συμφορᾶς σῶσαι.




Ἀκούσας τὸν Βενὼρ ἔχθιστον τῇ Ῥώμῃ ὄντα, ὁ πρεσβύτερος ἐκ τῆς σκηνῆς ἐξέρχεται ὡς τὸν Βενὼρ ἀσπασόμενος.




Ὁ πρεσβύτερος Ἰλδεριμὸς τῆς μεγάλης τοῦ Βενὼρ δυνάμεως ἐν ταῖς ναυσὶ πεπορισμένης αἰσθόμενος καὶ ἀκούσας αὐτὸν ἐν Ῥώμῃ ἐν τοῖς ἀγῶσιν ἠσκημέναι, παραινεῖ τῷ νεανίᾳ τὸ ἑαυτοῦ τέθριππον ἐν τῷ μέλλοντι ἀγῶνι ἐν τῷ ἱπποδρόμῳ ἐλαύνειν.







Ὁ πρεσβύτερος, διερχόμενος πολλὰς σκηνάς τε καὶ ἀγρίδια καλῶν Ἀραβικῶν ἵππων, ἄγει τὸν Βενὼρ πρὸς τὴν σκηνὴν Βαλτασὰρ τοῦ Αἰγυπτίου.
Χαῖρε, ὦ σοφὲ Βαλτασάρ. Διὰ τὴν μνήμην τοῦ εὐεργετήματος ὑπὲρ σοῦ πρωῒ ποιηθέντος, ῥᾴδιόν ἐστί μοί σε μεῖζόν τι αἰτῆσαι.
Ὁ μὴν Κύριος ἀπέστειλέ σε σῶσαι τὴν θυγατέρα μου καὶ ἐμαυτόν. Ὁ οὖν Θεὸς θέλει μέ σοι συγχωρεῖν ὅ τι ἂν αἰτήσῃς.
Τοῦ ἀγαθοῦ Σιμωνίδου τὸν θαυμάσιον λόγον σου εἰρηκότος μοι, ἔρχομαι δεησόμενος ἀκούειν αὐτόν.


Ὁ Μαλώχ, ὁ δοῦλός σου, ἤδη εἴρηκε δίκαιόν σοι λόγον εἶναι ἀκούειν πάντα ἅπερ ἐρῶ. Ἄγε, πορευθῶμεν ὑπὸ τὸ στέγασμα τῆς σκηνῆς.


Καὶ ἐγένετο ἐν τῇ ἐρήμῳ τῆς σῆς χώρας, τῆς Ἰουδαίας, ἀρχομένου τοῦ χειμῶνος πρὸ κθ' ἐτῶν, μόνος καὶ ἄοπλος ἐκ τῆς οἰκίας μου τῆς ἐν μακρᾷ Αἰγύπτῳ πορευθείς, χρηματισθεὶς δὲ κατ' ὄναρ οὐράνοθεν, ἐκεῖ ἔμενον δύο ἀπὸ μακρόθεν σοφούς...
Ἀλλὰ οὐ περὶ ἐμοῦ διηγήσομαί σοι. Ἔα μᾶλλόν με οὕτω διέρχεσθαι τὸν λόγον ὡς οὗτός ποτε ἀπογραφήσεται ἀναγιγνωσκόμενος ὑπὸ τοῦ πλήθους τῶν ἀγεννήτων.

## Ὁ λόγος τοῦ Βαλτασάρ

Νυκτός τινος Δεκεμβρίου ψυχρᾶς οὔσης, δύο ὁδοιπόροι ξενοδοχεῖον ἐζήτουν ἐν πόλει καλουμένῃ Βηθλέεμ, ἀπεχούσῃ πεντήκοντα μάλιστα σταδίους ἀπὸ τῆς παλαιᾶς πόλεως τῶν Ἱεροσολύμων. Ἰωσὴφ γάρ, ταπεινὸς τέκτων ὤν, καὶ ἡ γυνὴ αὐτοῦ Μαριὰμ ἀνεβεβήκεσαν ἐκ πόλεως Ναζαρὲθ εἰς τὴν Ἰουδαίαν. Καὶ ἐκεῖθεν διὰ τῆς ὁδοῦ εἰς Βηθλέεμ, ὅποι ἠναγκάζοντο πορεύεσθαι τοῦ ἀπογράφεσθαι ἐν ἀπογραφῇ ὑπὸ τοῦ Ῥωμαίου αὐτοκράτορος ἐπιτεταγμένῃ.



Ἐλυπεῖτο δ' ὁ Ἰωσὴφ εἰσάγων τὴν Μαριὰμ εἰς αὐλὴν πρὸ πανδοκείου τινὸς ἐν τῷ προαστίῳ. Τὸ μὲν γὰρ πανδοκεῖόν τε καὶ οἱ οἶκοι μεστοὶ ἦσαν, ὁ δ' Ἰωσὴφ ἐφοβεῖτο μὴ ἥ τε Μαριὰμ καὶ τὸ παιδάριον τὸ τικτόμενον ἀπόλωνται, ἐὰν μὴ ξενοδοχεῖον αὐτοῖς παρασχῇ.



Ὁ δὲ κάπηλος ᾤκτειρε τόν τε Ναζωραῖον καὶ τὴν γεγαμημένην αὐτοῦ..

Εἰ καὶ οὐ δύναμαι δέχεσθαι ὑμᾶς ἐν τῷ πανδοκείῳ, μέχρι τοῦ δυνατοῦ ὠφελήσω ὑμᾶς. Ἡ γὰρ οἰκία μου ᾠκοδόμηται ἐναντίον τοῦ στόματος σπηλαίου τινὸς ὅπου τά πρόβατα ἡμῶν αὐλίζεται. Καὶ ἐκεῖ εὑρήσεσθε θερμὸν τόπον διὰ νυκτός. Σπεύσατέ γ' ἔσω.

Δίδωμί σοι τὴν εὐλογίαν τοῦ ἀοίκου ὁδοιπόρου.




Τῃ αὐτῃ νυκτί, ἐπὶ λόφῳ πλήσιον ὄντι, ποιμένες τινὲς ἐξ ὕπνου ἠγέρθησαν θαυμάζοντες οὐρανίαν λευκότητα.
Ἐγείρεσθε. Ἐγείρεσθε.
Τί τοῦτό ἐστιν;
Ἴδετε. Ὁ οὐρανὸς μεστὸς φωτός ἐστιν.


Καὶ ἄγγελος Κυρίου ἐπέστη αὐτοῖς καὶ δόξα Κυρίου περιέλαμψεν αὐτούς, καὶ ἐφοβήθησαν φόβον μέγαν.
Μὴ φοβεῖσθε: ἰδοὺ γὰρ εὐαγγελίζομαι ὑμῖν χαρὰν μεγάλην ἥτις ἔσται παντὶ τῳ λαῳ.


Ὅτι ἐτέχθη ὑμῖν σήμερον σωτὴρ ὅς ἐστιν Χριστὸς Κύριος ἐν πόλει Δαυίδ. Καὶ τοῦτο ὑμῖν τὸ σημεῖον, εὑρήσετε βρέφος ἐσπαργανωμένον καὶ κείμενον ἐν φάτνῃ.
Δόξα ἐν ὑψίστοις Θεῳ
καὶ ἐπὶ γῆς
εἰρήνη ἐν ἀνθρώποις
εὐδοκίας.

Τῆς οὐρανίου στρατιᾶς ἐκπετομένης, οἱ ποιμένες οὐδὲ ὀλίγον χρόνον περιέμειναν.

Καὶ οἱ ποιμένες ἀνεῦραν πάντα καθὼς ὁ ἄγγελος ἐλάλησε πρὸς αὐτούς· τήν τε Μαριὰμ καὶ τὸν Ἰωσὴφ καὶ τὸ βρέφος κείμενον ἐν τῇ φάτνῃ, ἰδόντες δὲ ἐγνώρισαν καὶ ὑπέστρεψαν εἰς τὴν ποίμνην αὐτῶν, δοξάζοντες καὶ αἰνοῦντες τὸν Θεόν. Ἡ δὲ Μαριὰμ συνετήρει πάντα ταῦτα συμβάλλουσα ἐν τῇ καρδίᾳ αὐτῆς.



Διὰ πολλοῦ χρόνου ἀστήρ τις θαυμασίᾳ λευκότητι διεληλύθει τοὺς οὐρανούς, ἡγούμενος τρεῖς ἁγίους μάγους ἀπὸ μακρόθεν πορευομένους. Κεχρηματισμένοι δὲ ὑπὸ Θεοῦ καὶ αὐτοὶ ἔγνωσαν ἐγγὺς γιγνόμενοι τῶν Ἱεροσολύμων. Νῦν δὴ τοῦ ἀστέρος ἐν τῷ οὐρανῷ μένοντος, οἱ μάγοι συνῆκαν τὴν ὁδὸν αὐτίκα ἀνύσοντες.

Ἑνδεκάτῃ ἡμέρᾳ ὕστερον τοῦ βρέφους Χριστοῦ γενομένου, οἱ τρεῖς μάγοι, αὐτὸν μετερχόμενοι, διὰ τῆς πυλῆς Δαμάσκου εἰς Ἱεροσόλυμα εἰσῆλθον.




Εἷς τῶν ἐπισήμων ὁδοιπόρων ἁπλῶς ἐρωτῶν ἐτάρασσε τὸν λαόν.




Αὖθις καὶ μάλα μὲν διὰ τῆς πόλεως ἐρωτῶντες, οὐδὲ λαμβάνοντες οὐδεμίαν ἀπόκρισιν, οἱ μάγοι ἐκλήθησαν πρὸς τὸν πανοῦργον βασιλέα Ἡρῴδην, ὅσπερ ἐφοβεῖτο μὴ νέος ἡγεμὼν τις πέφανται ὡς καταστησόμενος ἀντὶ αὐτοῦ εἰς ἀρχήν.



Τῆς τρίτης φυλακῆς ἀρχομένης, οἱ μάγοι ἀφίκοντο εἰς πόλιν Βηθλέεμ. Καὶ ἰδοὺ εἱστήκει ὁ ἀστήρ, ᾧ τοσαύτας ἡμέρας ἠκολουθήκεσαν, λαμπρῶς φαίνων ὑπὲρ τοῦ πανδοκείου.


Ναί, ἀρτιγέννητον παιδίον τι πάρεστιν. Ἐκεῖ ἐν τῇ φάτνῃ ἔνεστιν. --- ἀλλὰ τί ---

Προσάγαγε ἡμᾶς πρὸς αὐτόν.

Εὑρήκαμεν τὸν λυτρωτὴν τοῦ κόσμου. Μακάριοι, μακάριοί ἐσμεν ὑπὲρ ἀνθρώπους.

Προσκυνήσαντες τῇ μητρὶ καὶ τῷ παιδίῳ, οἱ μάγοι προσήνεγκαν δῶρα, χρυσὸν καὶ λίβανον καὶ σμύρναν.

Καὶ οὐρανόθεν χρηματισθέντες, οἱ μάγοι οὐκ ἀπήγγειλαν τὸ εὕρημα Ἡρῴδῃ, τῷ ἐπιβούλῳ τυράννῳ, ἀλλὰ διαφυγόντες δι' ἄλλης τινὸς ὁδοῦ ἔσπευσαν εἰς τὰς ἑαυτῶν χώρας.





Ὁ Βενὼρ οὕτως πέπονθε διὰ τὸν τοῦ Βαλτασὰρ λόγον ὥστε μόλις δύναται τὰ νοήματα φθέγγεσθαι.
Σύγε ἄρα, ὦ Βαλτασάρ, εἷς τῶν τριῶν μάγων ἦσθα, τῶν πρὸς τὸ πανδοκεῖον ἐν Βηθλέεμ πορευθέντων.
Κελεύσει τοῦ Θεοῦ ἐγένετο. Ἐξ οὗ εἴκοσιν ἐννέα ἔτη διῆλθεν. Ὃν οὖν πρότερον εἶδον παιδίον ὄντα, νῦν ἀνάγκη ἐστὶ σχεδὸν ἕτοιμον εἶναι ἐπιτελέσαι τὴν θεῖαν ἑαυτοῦ ἐντολήν.


Ω, οὗτος ὁ νέος βασιλεὺς κηρύξει τὸ πτῶμα τῆς Ῥώμης. Ὕστερον γὰρ οἱ Ἰουδαῖοι τὴν τιμωρίαν μακρῶς ζητοῦντες νικήσουσιν.
Μήτε τὴν δύναμιν μήτε τὴν τιμωρίαν ἐξάρῃς, τέκνον. Λέγω μὲν ὅτι τοῦτο τὸ παιδίον ἥξει ἵνα μὴ ἐν ὅπλοις νικᾷ. Ἔσται δὲ βασιλεὺς τῶν ψυχῶν, ὁ τοὺς ἀνθρώπους ἐν ἀγάπῃ καὶ ἀφέσει πρὸς ἑαυτὸν ἕλκων.


Οὐχί. Οἱ γὰρ προφῆται ἀπεκάλυψαν ὅτι, ὅταν ἔλθῃ ὁ Χριστὸς, ἀληθῶς ἔσται βασιλεὺς τῶν Ἰουδαίων. Ὁ Καῖσαρ ἡμῶν. Καὶ ἐν τῷ σημείῳ αὐτοῦ νικήσομεν τὸν κόσμον.


Ἀδύνατα ταῦτα. Συνήκαμεν γὰρ ἐκεῖνον οὐ μόνον σωτῆρα τῶν Ἰουδαίων ἔσεσθαι, ἀλλὰ καὶ πάντων τῶν ἀνθρώπων.
Σὺ μὲν οὐ μεῖζον ἐπύθου ἢ δεῖν σε ζητεῖν τὸν τῶν Ἰουδαίων βασιλέα μέλλοντα. Ἐγὼ δὲ πιστεύω αὐτὸν βασιλέα ἔσεσθαι, διὸ καὶ ὡς βασιλέα πράξειν.


Ἔστω τοῦτο. Ἡ δ' ὥρα ἐγγὺς γίγνεται ὥστε πάντες βοηθοῦμεν αὐτῷ.
Χρείαν γὰρ ἕξει στρατιωτῶν τε καὶ ὅπλων, εἰς οὓς πλούσιος ὢν δύναμαι συλλαμβάνεσθαι. Ὅταν δὲ τὸν Μεσσάλαν ἐν τῷ ἀγῶνι νικήσω, γνώμην ἔχω εἰς τὴν πατρίδα ἐπανιέναι, προσοίσων τῷ Χριστῷ ἐμαυτόν τε καὶ πάντα τὰ ἐμά.


Ὡς βεβαιοτάτην ὁ Βενὼρ νῦν ἔχει γνώμην κρατῆσαι τοῦ Μεσσάλα ἐν τῷ μεγάλῳ τῶν τεθρίππων ἀγῶνι. Ἀκολουθοῦντος αὐτῷ τοῦ Μαλώχ, ἐπισκοπεῖται τοὺς τοῦ πρεσβυτέρου Ἰλδεριμοῦ θαυμασίους ἵππους...
Ἀκήκοα μὲν τὸν Μεσσάλαν περὶ πάντων τῶν χρημάτων ἐν τῷ ἀγῶνι περιδίδοσθαι, οἱ δὲ ἄριστοι τέσσαρές μου
Ἀσκήσω μὲν μετ' αὐτῶν ἵνα ἕτοιμος γένωμαι. Νῦν δὲ σοί, ὦ Μαλώχ, λίαν κρύφιον ἔργον τι ἐπίκειται.


Ζήτει μὲν ἀκριβῶς μετρῆσαι τὸ τοῦ ἄξονος ἐν τῷ τοῦ Μεσσάλα τεθρίππῳ ὕψος, ἐγὼ δὲ κελεύσω τοὐμὸν ὀλίγον βραχύτερον ποιηθῆναι. Ἐὰν δόλον τι ἐν τῷ ἀγῶνι ὁ Μεσσάλας ὑφήνῃ, εὖ χρήσομαι αὐτῷ.


Τῆς τοῦ ἀγῶνος ἡμέρας ἐπιγιγνομένης, ὁ Βενὼρ ἅπαντα παρεσκεύασται. Τὸν δὲ νοῦν αὐτοῦ μόνη ἡ Ἰρὰς διασπᾷ, ἡ θυγάτηρ τοῦ Βαλτασάρ. Ἡ δὲ ξένη οὖσα οὕτως ἐπάγεται αὐτὸν ὥστε ἐπιλανθάνεσθαι τῆς τε ἁγνῆς καὶ καλῆς Ἐσθήρ.
Ἡ ἐπαφρόδιτος Αἰγυπτία αὖ προσδοκᾷ με. Μετὰ τοῦτον τὸν δρόμον προσελεύσομαι αὐτῇ.



Ἄξιος τοῦ Μεσσάλα ἀνταγωνιστὴς ἔσει. Καίπερ δὲ οὕτως ὡραῖος τιμᾶται ὡς Ἀπόλλων, μὴ ἐπιλάθῃ τήν τε ἰσχὺν αὐτοῦ καὶ τὴν τέχνην ἔτι τὴν χάριν ἐπικρατεῖν.
Τότε μέν, ὦ γλυκεῖα Ἶρας, δοκεῖς χαρίζεσθαί μοι, τότε δ' οἶμαι ὅτι οὐ παραλυποῖο ἄν, εἰ ὁ φίλος σου ὁ Μεσσάλα νικῆσαι.


Τί ἀπορεῖς περὶ ἐμοῦ; Ὁ γὰρ πατὴρ εἶπε μεγάλην δόξαν σοι καὶ ἅπασι τοῖς φίλοις σου ἐπικεῖσθαι.
Ὅ τι ἂν τὸ μέλλον ἔχῃ, μίμνησκε ἐμὲ οὐ μόνον ἵνα νικήσω παρεῖναι τούτῳ τῷ δρόμῳ. Ἡ γὰρ Νέμησις σὺν ἐμοὶ ἐλαύνει ἐν τῷ ἅρματι. Φυλασσέσθω ὁ Μεσσάλας.

Τῆς τοῦ μεγάλου ἀγῶνος δείλης δέκα μύριοι ἐκ πάντων τῆς τῶν Ῥωμαίων βασιλείας τόπων θεαταὶ κροτοῦντες ἀναπληροῦσι τὸν Ἀντιόχειον ἱππόδρομον.

Ὁ μὲν Μεσσάλας παντελῶς προσδοκᾶται νικήσειν. Πολλοὶ δὲ διαλογίζονται περὶ τοῦ τε κρυπτοῦ Ἰουδαίου, τοῦ Βενὼρ καλουμένου, καὶ τῶν λαμπρῶν ἵππων αὐτοῦ.


Ἀδόκητοι δὲ κίνδυνοι ἐν τοῖς τῶν τεθρίππων ἀγῶσι περισσεύουσιν. Τῆς γὰρ ἀφέσεως ποιηθείσης, ἄπεισιν αἱ ἐντολαὶ τοῦ τοὺς ὠμούς τε καὶ ἀγρίους ἡνιόχους χαλινοῦν.




Αἱ μὲν σάλπιγγες φθέγγονται, ὁ δὲ πρόεδρος σημαίνει, ὁ δὲ δεινὸς ἀγὼν ἄρχεται. Ὁ μὲν Βενὼρ κεκλήρωται τὸν κάκιστον τόπον, ὁ δὲ Μεσσάλας τὸν κράτιστον. Πλὴν τοῦτο παροξύνει τὸν γόργον Βενὼρ προῃρημένον κατανικῆσαι τὸν αὑτοῦ ἔχθιστον.



Τῶν τεθρίππων βροντώντων καὶ τὸν δρόμον τρεχόντων, ἅρμα τι ἐπὶ τὸ ἐνδότερον τεῖχος ἐπῆκται. Καὶ ὁ δυστυχὴς ἡνίοχος συμβάλλεται ὑπὸ τὰς τῶν ἵππων μανικῶς εἰσπιπτόντων ὁπλάς. Ὁ δὲ Βενὼρ ὄπισθεν ὢν καὶ οἱ δύο πλησιαίτατοι αὐτοῦ ἡνίοχοι μεῖνον σπεύδουσιν ἵνα μὴ εἰς τὸ ἐρείπιον εἰσπέσωσιν.




Ὁ μὲν Βενὼρ ἀγχινόως ἐλαύνων οὕτω τοὺς τέσσαρας παρατέτακται ὥστε αὐτοὺς ἐξισωθῆναι τῷ Μεσσάλᾳ. Ὁ δὲ Ῥωμαῖος, μέλλων ὑπερβάλλεσθαι, τῷ ἱμάντι πληγὴν τοῖς ἵπποις τοῦ Βενὼρ αἰσχρῶς ἐπιβάλλει. Οἱ δ' Ἀραβικοί, οἱ οὐδεπώποτε αἰσθόμενοι τοῦ τῆς μάστιγος δήγματος, πανικῷ θορύβῳ συνέχονται.




Ὁ δὲ Βενὼρ τοὺς τέσσαρας ἀσυγκρίτῳ τέχνῃ τε καὶ ἀπίστῳ πείρᾳ ὑφ' ἑαυτοῦ πάλιν ὑποταγέντας παρορμᾷ. Καὶ σχεδὸν ἐξισασμένος τῷ τοῦ Μεσσάλα ἅρματι, ὁ Βενὼρ ἐξαίφνης ἐπιστρέφει τοὺς ἵππους βροντῶντας.


Ὁ δὲ σεσιδηρωμένος ἄξων αὐτοῦ ἀλεῖ ὑπὸ τοῦ τροχοῦ τοῦ Μεσσάλα, διασπῶν τὰς τοῦ Ῥωμαίου κνήμας εἰς ἐσχισμένα τινά. Ἐλέλιχθον δὲ βρύχημά τι ἀναπέμπεται ἐκ τοῦ ἱπποδρόμου, τῶν βραγχῶν ἀλαλαγμῶν τοῖς φοβεροῖς στεναγμοῖς μεμιγμένων.



Ὁ τοίνυν Μεσσάλα προσάπτεται τῷ ἐρειπίῳ τοῦ ἅρματός τε καὶ τῶν ἵππων ἀποθνῃσκόντων. Καίπερ γλιχόμενος τοῦ ζῆν, ὁ Ῥωμαῖος ἀνελπίστως χωλαίνεται εἰς τὸν αἰῶνα. Διὰ οὖν τῆς νίκης ὑπὸ τοῦ τολμηροῦ Ἰουδαίου ἁρπασθείσης, ὁ Μεσσάλα χρεωκοπεῖται τε καὶ καταβάλλεται.



Ἡ δὲ τοῦ Βενώρ, τοῦ κρατήσαντος καὶ τὸ τέρμα διαβάντος, εἰς τὸν Μεσσάλαν τιμωρία μακρῶς ζητηθεῖσα ὑπερβαλλόντως πεπλήρωται ὥστε αὐτὸς ἐπὶ τούτῳ πολὺ μᾶλλον ἢ ἐπὶ τῇ ἐν τῷ ἀγῶνι νίκῃ λίαν εὐφραίνεται.




Ὁ Βενὼρ, ταπεινὸς ὢν καὶ σιωπῶν, δέχεται τὸν δάφνινον στέφανόν τε καὶ τοὺς ἐπαίνους ἀπὸ τοῦ Ῥωμαίου ὑπάτου.
Ἐν δὲ τῷ ἱπποδρόμῳ ἔτι οἱ κρότοι ἠχοῦσι καίπερ τοῦ φιλουμένου ἡνιόχου κεκρατημένου.


Ὁ δὲ Βενὼρ, πάντας τοὺς τῆς νίκης καρποὺς ἀρνησάμενος, σὺν τοῖς ἀγαθοῖς τε καὶ πιστοῖς φίλοις σπεύδει ἐκ τοῦ ἱπποδρόμου ἀπελθεῖν. Παραίνεσις δέ τις ἐκ τοῦ πρεσβυτέρου Ἰλδεριμοῦ προχωρεῖ.
Φυλακτέον ἐστί σοι τὸν δόλον ὃν ὁ Μεσσάλας ἐπὶ σὲ ὑφανεῖ. Οἱ γὰρ φίλοι αὐτοῦ πειρήσονται ἀποκτέναι σε ὅτι ἐταπείνωσας αὐτόν.
Ἀπὸ τούτου ἡ ψυχή μού ἐστιν ἐκείνου τοῦ βασιλέως ἡμῶν μέλλοντος.


Φυλάσσου. Νῦν γὰρ ὁ Μεσσάλας οἶδέ σε τὸν υἱὸν Ἂῶρ ὄντα. Σπεύσει οὖν τὸν Ῥωμαῖον ἡγεμόνα ἀποστεῖλαί σε εἰς τὰς ναῦς.
Ἡ ἐκδίκησίς μου πεποιημένη τοῦ Μεσσάλα ὅσον οὐ σχηματίζει ὅ, τι πάντας τοὺς Ῥωμαίους μενεῖ, ὅταν ὁ βασιλεὺς ἡμῶν ἕτοιμος ᾖ.


Ταύτῃ τῇ νυκτὶ ἄπειμι εἰς τὰ Ἱεροσόλυμα, ὅπου ἀκριβῶς ἐν ἀπορρήτοις φυλάξω τοὔνομά μού τε καὶ τὸν σκόπον.
Περιτεύξομαί σοι ὅταν ἀγγείλῃς ὅτι εὕρηκας τὸν βασιλέα ἡμῶν.
Τοῦ Μεσσάλα ἡσσημένου, δεῖ με πειρᾶσθαι ἐξαπατᾶν τοῦτον τὸν Ἰουδαῖον ἵνα μετέχω τῶν τε χρημάτων καὶ τῆς δόξης τῶν διὰ τοῦ νέου βασιλέως ὑπ' αὐτοῦ κερδανθησομένων.

# Μέρος δ' ὁ Βενὼρ καὶ ὁ Χριστός

Τοῦ δὴ Βενὼρ εἰς τὰ Ἱεροσόλυμα ἰόντος, οἱ ἐκείνης τῆς μακρᾶς πόλεως ἄνθρωποι ἀπροσδοκήτῳ δόγματι ταράσσονται.

Ἀνάγνωθι τάδε ἡμῖν, ὦ Ἀαρών.

Κελεύσει τοῦ αὐτοκράτορος Τιβερίου Καίσαρος, Πόντιος Πιλᾶτος τοὐντεῦθεν ἐξηγήσεται τὰ Ἱεροσόλυμα.

ΠΟΝΤΙΟΣ ΠΙΛΑΤΟΣ

Καίπερ αὐτοῦ ὤμου ὄντος φύσει, ἡ πρώτη τοῦ Πιλάτου κέλευσις ἐπιτηδεία ἐστὶ πολλὸν ἔπαινον πρὸς τὸν δῆμον ἔχειν.

Ἐπισκοπεῖτε πάντα τὰ δεσμωτήριά τε καὶ τὰ ἀναγκαῖα. Ἐπιτάσσω γὰρ πάντας τοὺς ἀκρίτως εἰς δεσμοὺς βεβλημένους ἐλευθεροῦσθαι.

Τῆς κελεύσεως διαπρασσομένης, τοῖς ἄρχουσι δεσμωτήριόν τι ἐπισκοποῦσιν ἴδιον ἔργον τι ἀπαντᾷ.

Πρὸ ὀκτὼ ἐτῶν δύο δεσμῶται μετὰ τοῦτο τὸ τεῖχος ἐκλείσθησαν, δεχόμενοι σῖτον καὶ ὕδωρ διὰ ταύτης τῆς ὀπῆς. Ὁ γὰρ Γρᾶτος, ὁ τότε ἡγεμών, ἔλπιζεν αὐτοὺς ἀποθανεῖσθαι καὶ λήθην αὐτῶν γενήσεσθαι.

Ὁ βαιὸς κλαυθμυρισμὸς δηλοῖ ὅτι ἐκεῖνοι ἔτι ζῶσιν. Κατάξας τὸ τεῖχος λῦσον αὐτούς.

Οἱ ἄρχοντες ἐκπλήσσονται καθεστηκυίᾳ γυναικί τινι καὶ τῇ θυγατρὶ αὐτῆς ὡς ἐκ κατακλεισθέντος τάφου ἐξιούσαις. Ἡ δὴ δεινὰ ὄψις αὐτῶν ἐκφέρει αὐτὰς εἶναι ...

Λεπράς. Τί πάρεστε καὶ πῶς ἀκάθαρτοι ἐγένεσθε;

Ἀκριτὶ εἰς δεσμοὺς ὑπὸ τοῦ Γράτου ἐβλήθημεν. Ὁ δὲ λοιμὸς ἐγένετο ἐν τῷ ἡμετέρῳ οἰκίσκῳ.


Ἐλευθερωθεῖσαι δ' ὅσον οὐκ ἔτυχον κακούμεναι ὥσπερ εἰ ζῶσαι ἐτάφησαν. Κατὰ γὰρ τὸν νόμον ἀνάγκη ἦν πάντας τοὺς λεπροὺς διατρίβειν μόνους ἐν σπηλαίοις ἔξω τῆς πόλεως καὶ κλαίειν ὅταν τις προσέλθη.

Ἄπιτε ἐκ τῆς πόλεως μήτε τοῦ ἐδέσματος ἀπτόμεναι μήτε τῶν ἐσθήτων τῶν εἰς τὴν νόσον ὑμῶν μὴ ἐμπεπτωκότων.

Ἀκάθαρτοι. Ἀκάθαρτοι.

Ἀκάθαρτοι. Ἀκάθαρτοι.

Ἔπειτα δέ, τοῦ Πιλάτου κελεύοντος τὸν θησαυρὸν τοῦ ἱεροῦ δημευθῆναι, τὸ πλῆθος τῶν Ἰουδαίων εἰς ὀργὴν καὶ χολὴν προάγεται.
Ὁ οὖν Βενὼρ εἰς τὰ Ἱεροσόλυμα μετὰ ὀλίγας ἡμέρας ἀφικόμενος εὑρίσκει στάσιν ἐν τῇ πόλει εἶναι.







Ἐκείνῃ τῇ νυκτί, ὕστερον δέ, ὁ Βενὼρ ἀποκαλύψας τὸν ἑαυτοῦ βίον τοῖς Γαλιλαίοις ὑπισχνεῖται τὰ χρήματα παρέξειν καὶ ἡγήσεσθαι αὐτοὺς ὥστε τοὺς ἀτάκτους συγκροτηθῆναι εἰς κράτιστον στρατόν.



Ὁ ἄρα Βενώρ, χρώμενος τοῖς ἑαυτοῦ χρήμασι τοῦ ὁπλίζειν τε καὶ τρέφειν τοὺς στρατιώτας, ταχέως συλλέγει καὶ συγκροτεῖ στρατόν τι Γαλιλαίων ὅπως τὴν παρουσίαν τοῦ Βασιλέως παρασκευάζηται. Μόνον δ' ὀλίγων μηνῶν παρελθόντων, ἀγγελία τις ἀφικομένη κινεῖ τὸ στρατόπεδον.

Θαυμάσιος ἀνήρ τις ὀνομαζόμενος Ἰωάννης ὁ βαπτιστὴς προσελθὼν ἐκ τῆς ἐρήμου κηρύσσει ὅτι ἤγγικεν ἡ βασιλεία τοῦ Θεοῦ. Καὶ νῦν πάρεστιν ἐπὶ τοῖς χείλεσιν τοῦ Ἰορδάνου ποταμοῦ βαπτίζων πάντας τοὺς πιστεύοντας εἰς αὐτόν.

Οὗτός ἐστιν ἀληθῶς ὁ κῆρυξ ἀγγέλλων τὴν παρουσίαν τοῦ νέου βασιλέως ἡμῶν. Εὐθὺς οὖν εἶμι παρ' αὐτόν.



Πρῶτον μὲν ὁ Βενὼρ πέμπει ἄγγελον πρὸς τὴν Ἀντιόχειαν ὡς κελεύσοντα τὸν Σιμωνίδην εὐθὺς ἀπαντῆσαι αὐτῷ ἐν τοῖς Ἱεροσολύμοις.

Σπεῦσον ἐνεγκεῖν ταύτην τὴν ἐπιστολὴν παρὰ τὸν Σιμωνίδην. Μένε μὲν ἕως ἂν ἀπόκρισις ἀποδοθῇ, ὅταν δὲ ἐπανέλθῃς εὑρήσει μέ που κατὰ τὰ χείλη τοῦ Ἰορδάνου.



Ὁ Βενὼρ πέζῃ πορεύεται μόνος. Καὶ προσερχόμενος πρὸς πόρον τοῦ ποταμοῦ θαυμάζει ὅτι εἰσπέπτωκε τῷ Βαλτασὰρ καὶ τῇ Ἰράδι τῇ θυγατρὶ αὐτοῦ.

Ἀνάγκη ἐστὶ τὴν ἀγγελίαν περὶ τοῦ κήρυκος καὶ ἔτι πρὸς σὲ ἀφικέσθαι. Ἅμα δὲ πόρρω ὁδοιπορῶμεν.

Ἀσμένως δὴ ἀπηντήκαμέν σοι, ὦ Βενώρ. Ἀκολουθεῖ δὲ μεθ' ἡμῶν. Ἀνάγκη γάρ ἐστι τὸν Ἰορδάνην οὐ μακρὰν ἀπέχειν.



Ὥσπερ ἀπέβη πρότερον, ἡ Αἰγυπτία ἡ ἐπαφρόδιτος ξένη ταχέως θηρᾷ χάριν τοῦ Βενώρ.

Πολλὰ ἔτη ὑπέμεινα πληροῦσθαι τὴν οὐρανόθεν ἀγγελίαν. Ἐν γὰρ βραχεῖ ὁ βασιλεὺς φανερὸς γνωσθήσεται ἡμῖν.

Στρατὸν ἔχων γενήσῃ κράτιστος ἐν τοῖς ἑταίροις αὐτοῦ. Πᾶσαι γὰρ αἱ φυλαὶ Ἰσραὴλ πείσονται τῷ Βενώρ.



Μεγάλαι στρατιαὶ στρατηγοῦντός σου πορεύσονται. Μετὰ δὲ τὸν νέον βασιλέα, σὺ πρῶτος ἐν τῇ οἰκουμένῃ ἔσῃ. Οἱ γὰρ ἐν αὐτῇ τῇ Ῥώμῃ προσκυνοῦσί σε.

Ἰδοὺ ὁ Ἰορδάνης. Ὄχλος γὰρ κατὰ τὸ χεῖλος συνείλεκται.



Οἱ ὀφθαλμοὶ πάντων εἰς ἄνθρωπον ἄκοσμον μὲν ἐπίσημον δ' ἐπιστρέφονται.







Ὁ Βενὼρ τὸν ἄνθρωπον τὸν δεδειγμένον ἐπιγιγνώσκεις τὸν νέον Ναζωραῖον ὅσπερ ὕδωρ αὐτῷ εἰς τὰς ναῦς ἀπαγομένῳ ἐξέτεινεν. Τούτου δὲ κατὰ τοῦ λόφου καταπηδῶντος ἵνα ἐκείνῳ ἀπαντήσῃ, ἡ Ἶρας παρακαλεῖ ἐπὶ βοήθειαν.




Τοῦ δὲ Βενὼρ τῷ Βαλτασὰρ πεπτωκότι ὑπηρετοῦντος, ὁ Ἰησους ἄνθρωπος ἔρημος ὢν ἐξ ὄψεως ἔφυγεν ἀμφὶ τὴν τοῦ Ἰορδάνου ποταμοῦ καμπήν.






Διὰ ἐγγὺς δύο ἔτων ὁ Βενὼρ ἐπιμένει μὲν συλλέγων τε καὶ ἀσκῶν τὸν στρατὸν ἐν τῇ προσβόρρῳ ἐρήμῳ ἀπὸ τῶν Ἱεροσολύμων, κρύφα δὲ ὡς πλεῖστον ἐπέρχεται τῷ ὄχλῳ ὃς συνάγεται ὅταν Ἰησοῦς ὁ Ναζωραῖος προσέλθῃ. Τέλος δ' ἕτοιμός ἐστιν ἀναφέρειν τὰ ἐσκεμμένα.


Ὡς ὅτε μάλιστα πέπεισμαι τὸν Ἰησοῦν μὲν εἶναι τὸν ἐπηγγελμένον ἡγεμόνα τὸν τοῖς προφήταις προειρημένον. Εἴη δ' ἂν ἐκεῖνος καὶ περισσότερον τούτου. Ὁ γὰρ καθ' ἑκάστην ἡμέραν ποιεῖ σημεῖα οἷα ὁ κόσμος οὔποτε ἑώρακεν.



Πρῶτον μὲν πεντακισχίλιοι ἄνδρες συναχθέντες ἀκούειν αὐτοῦ κακῶς ἐπείνων. Ὁ δὲ Ἰησοῦς λαβὼν πέντε ἄρτους καὶ δύο ἰχθύας, εὐλόγησεν. Οἱ δὲ τοσοῦτοι ἐγένοντο ὥστε χορτάσαι ἅπαν τὸ πλῆθος.



Εἶτα ἐκπορευομένου τοῦ Ἰησοῦ ἀπὸ Ἰεριχὼ καὶ τῶν μαθητῶν αὐτοῦ, τυφλός τις ἐδεῖτο αὐτοῦ ἀναβλέψαι. Ὁ οὖν Ἰησοῦς εἶπε λόγῳ καὶ ἰάθη ὁ ἄνθρωπος.



Τέλος δ' ἐν Βηθανίᾳ ἐν τῇ κώμῃ Λάζαρός τις ἐτεθνήκει, τέσσαρας ἤδη ἡμέρας κείμενος ἐν τῷ μνημείῳ. Ἀποκυλισθέντος δὲ τοῦ λίθου, ὁ Ἰησοῦς φωνῇ μεγάλῃ ἐκραύγασεν· Λάζαρε, δεῦρο ἔξω. Καὶ ὁ ἄνθρωπος ἠγέρθη ἐκ νεκρῶν.



Πάντα ταῦτα τὰ σημεῖα δείκνυσιν ὅτι ὁ καιρὸς ἤγγικεν ὅτε ὁ Ἰησοῦς ἀποκαλυφθήσεται ἀληθῶς ὁ Σωτὴρ πάντων τῶν ἀνθρώπων ὤν, ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ ἀπεσταλμένος ὑπὲρ τῆς λυτρώσεως ἡμῶν.

Τοῦτο μὲν ἐνδέχεται, πλὴν ἔτι πέπεισμαι ὅτι ἐκεῖνος ὁ βασιλεὺς ἡμῶν γενόμενος βασιλεύσει ὡς ὁ Δαυὶδ καὶ ὁ Σαλομών. Καὶ ἔχων τὸ στράτευμά μου ἄξει ἡμᾶς ὥστε νικῆσαι τοὺς Ῥωμαίους.



Ἅμα δὲ τῷ ἔαρι πόρρω τῶν νυκτῶν Βενὼρ καὶ οἱ φίλοι διαλέγονται πότε τε καὶ πῶς ὁ Ἰησοῦς ἑαυτὸν βασιλέα ἀναγορεύσει. Ἔπειτα, τοῦ Βενὼρ ἤδη παρὰ τὸν στρατὸν ἐπανιόντος, ἄγγελός τις ἀφικνεῖται.




Τοιγαροῦν πρωῒ ὄχλος ἐκ τῆς πόλεως ἐξέρχεται εἰς ὑπάντησιν τῷ Ἰησοῦ τε καὶ τοῖς ἀκολούθοις αὐτοῦ νίκην σημαίνων τοῖς τῶν φοινίκων κλάδοις. Φαίνονται δὲ οἱ δύο ὄχλοι πομπὰς ποιούμενοι συνιέναι παρὰ τὰ σπήλαια ὅπου οἱ λεπροὶ οἰκοῦσιν.

Μήτηρ καὶ θυγάτηρ τινὲς λέπρᾳ κεκακωμέναι ἐκ πίστεως ἀνυποκρίτου πιστεύουσι πάντα ὅσα ἀκηκόασι περὶ τῶν πολλῶν σημείων ὑπὸ τοῦ Ἰησοῦ ποιηθέντων.




Ὁ μὲν Βενὼρ τῷ ὄχλῳ συντεθλιμμένος σχεδὸν καθορᾷ τὸν Ἰησοῦν ταῖς γυναιξὶ λαλοῦντα, γιγνώσκει δὲ ἄλλο σημεῖον ποιηθέν. Καὶ ἐξαίφνης, τῶν τῆς δεινῆς νόσου ἰχνίων ἐκ τῶν δύο γυναικῶν εἰς τὸ ἔσχατον ἀφανιζομένων, εὑρίσκει θαυμάσιόν τι.

Ἡ μήτηρ. Καὶ ἡ ἀδελφή, Θερσά. Θαῦμά γε οὐδέν με οὐχ εὑρεῖν αὐτάς. Ἦσαν μὲν ἐν τοῖς ἐμψύχοις νεκροῖς, ἐκεῖνος δ' ἀποκατέστησεν






Ὁ Βενὼρ σπεύσας ἤγαγε τὴν μητέρα τε καὶ τὴν ἀδελφὴν πρὸς Σιμωνίδην τε καὶ Ἐσθήρ, οἵτινές γε αὐτὰς ἁπάντων πολὺν χρόνον ἀπορούσας ἐκούφισαν.
Ὁ δὲ Βενὼρ αἰσχραῖς ἀκοαῖς διὰ τῆς πόλεως ἀκουομέναις ταράσσεται.










Τῇ δὲ ἕκτῃ ἡμέρᾳ ἐπειδὴ ὁ Χριστὸς τὰ Ἱεροσόλυμα ἐνδόξως εἰσῆλθεν, ὁ Σιμωνίδης τῷ Βενὼρ ἀγγελίαν διηγεῖται περί τινος αἰφνιδίου μεταβολῆς.
Ὁ Χριστὸς ἀπέτυχε τῶν ἐλπίδων ἡμῶν. Ἡμεῖς μὲν γὰρ καὶ μυρίοι τῶν Ἰουδαίων ἀδελφῶν ἡμῶν ἠσπασάμεθα αὐτὸν ὡς βασιλέα ἡμῶν, αὐτὸς δὲ οὐδὲν πράττει.
Ἴσως ἀναμένει σημεῖόν τι.


Ὅτε ὁ λαὸς αὐτὸν εἰς τὸν θρόνον καθίζειν ἤθελον, ἠρνήσατο. Καὶ διδάσκει τὸ καθ' ἡμέραν ἐν τῷ ἱερῷ ὅτι οἱ ἄνθρωποι ὀφείλουσιν ἐλεήμονες εἶναι μηδὲ ἐκδίκησιν τῶν ἐχθρῶν αἰτεῖν.
Νῦν μέν, ἐπεὶ οἱ πολλοὶ οὐκέτι ἐπιφωνοῦσιν αὐτῷ, οἱ ἀρχιερεῖς καὶ γραμματεῖς μᾶλλον τολμῶσιν ἀπειλεῖν αὐτῷ. Ἐγὼ δὲ δέδοικα μὴ νῦν περὶ ψυχῆς κινδυνεύῃ.


Τοῦ Βενὼρ φοβουμένου ὑπὲρ πάντων τῶν ἐλπιζομένων ἢ ἐπιθυμουμένων, ἡ Ἰράς, ἡ Αἰγυπτία κόρη, τραχεῖ χλευασμῷ ὀρεγομένη αὐτοῦ, σπεύδει τὴν ἀληθῆ φύσιν δηλοῦν.
Ἄφρων, πῶς γὰρ οὐχ ὁρᾷς μηδένα ποτὲ βασιλεύσοντα οὕτω πραῢν καὶ ταπεινὸν ὄντα ὡς τοῦτον; Οὐδὲν προτερήσεις ἀκολουθῶν αὐτῷ.
Κρείσσων σου κριτής εἰμι, ὦ Ἰράς. Διὰ τί τῇ πίστει τοῦ πατρὸς οὐ χρῇ;


Ὁρῶντος ἤδη τὴν Ἰράδα διαπαντὸς μηχανωμένην χρῆσθαι αὐτῷ ἵνα μόνον τὴν ἑαυτῆς προκοπὴν λαμβάνῃ, ὁ τοῦ Βενὼρ δικαίως ὀργιζομένου ἔσχατος Ἔρως καταπέπτωκεν εἰς Ἔρεβος.
Ἀπόλαυε τοῦ σοῦ βασιλέως τῶν Ἰουδαίων, ἀβέλτερε. Τὴν δὲ δύναμιν καὶ τὴν δόξαν οὐδέποτε συλλήψῃ.
Καίπερ τῶν μὲν ἐχθρῶν αὐτοῦ ὀνειδιζόντων αὐτῷ, τῶν δὲ φίλων αὐτοῦ ἀπολειπόντων αὐτόν, ἔγωγε συνακολουθήσω αὐτῷ. Ὕπαγε ὀπίσω μου, σὺ ἁλία καὶ φίλαυτε.
38


Πρὸς ἡμέραν τὴν ὑστέραν, δύο ἄρχοντες τοῦ κρυφίοῦ στρατιοῦ τοῦ Βενὼρ φοβερὰν ἀπαγγελίαν ἀπαγγέλλουσι περὶ ὧν τῷ Ἰησοῦ ἐν τῷ χωρίῳ Γεθσημανὶ συμβέβηκε.
Πᾶσαν νύκτα, ὡς προσέταξας, φυλάσσοντες ἐπ' αὐτῷ καὶ νομίζοντες οὐδὲν οὐκ ὀρθὸν εἶναι, εἴδομεν ὄχλον ἐγγίζοντα πρὸς τὸν Ἰησοῦν, ὅτι Ἰούδας Ἰσκαριώτης, ὁ φίλος αὐτοῦ, πρῶτος ἦν.
Οὐδ' εἷς ἐκ τοῦ ὄχλου ἐβοήθησεν ἐκείνῳ, ὅτε ὁ Ἰούδας προύδω-κεν αὐτὸν καὶ ὁ δ' ἀρχιερεὺς ἐκέλευσε τοὺς στρατιώτας συλλαβεῖν αὐτόν;


Ἐπειδὴ Πέτρος, ὁ πρῶτος μαθητὴς αὐτοῦ, ἀνέστη ὡς ἀμυνῶν αὐτόν, ἐκεῖ-νος ἔφη· ἀπόστρεψον τὴν μάχαιράν σου· πάντες γὰρ οἱ λαβόντες μάχαι-ραν ἐν μαχαίρῃ ἀπολοῦνται.
Τότε οἱ μαθηταὶ πάντες ἀφέντες τὸν Ἰησοῦν ἔφυγον.


Ἡμεῖς μόνοι ἐκ πάσης τῆς στρατιᾶς παρεσκευάσ-μεθα ποιεῖν τὸ θέλημά σου. Οἱ δὲ λοιποὶ λέγου-σιν ὅτι οὐ μὴ μαχήσον-ται ὑπὲρ βασιλέως μὴ θέλοντος ἀμύνεσθαι.
Ἄπιτε ταχέως ἵνα πλεῖον ἀπαγ-γείλητε. Ἐγὼ δὲ μόνος, ἐὰν δῇ, τῷ πλήθει μαχήσομαι.


Ὕστερον δὲ πρωῒ τῇ αὐτῇ παρασκευῇ ὁ Βενὼρ ἀκούει τὸν ψόφον κρηπίδων σπευδόντων κατὰ τὴν ὁδόν.
Ὁ Μαλὼχ ἐστιν. Ἆρα μὴ καὶ οὗτος ἀγγελεῖ κακά;


Οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι μέλλειν οὐκ ἠθέλησαν, ἀλλ’ ἠξίουν τὸν Ἰησοῦν αὐτίκα κριθῆναι. Ὁ δ' ἤδη παραγέγονεν τῇ αὐλῇ τῶν ἀρχιερέων.


Εἶτ' ἀπήχθη πρὸς Καϊάφαν τὸν ἀρχιερέα, ὅστις εἶπεν αὐτῷ· ἐξορκίζω σε κατὰ τοῦ Θεοῦ τοῦ ζῶντος, ἵνα ἡμῖν εἴπης εἰ σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ. Λέγει αὐτῷ ὁ Ἰησοῦς· σὺ εἶπας, ἐγώ εἰμι. Τότε ὁ ἀρχιερεὺς διέρρηξεν τὰ ἱμάτια αὐτοῦ λέγων· ἐβλασφήμησεν· τί ἔτι χρείαν ἔχομεν μαρτύρων;
Ἀλλὰ μόνον τῷ Ῥωμαίῳ ἡγεμόνι, τῷ Ποντίῳ Πιλάτῳ, ἔξεστιν ἀποκτεῖναί τινα.


Αλήθεια ἔχει καὶ μικρὸν ὅσον ἐδόκουν ὁ Πιλᾶτος οὐδὲν πράσσειν, λέγων ὅτι οὐδεμίαν εὑρίσκει ἐν αὐτῷ αἰτίαν. Πρῶτον μὲν ὁ Πιλᾶτος ἐμαστίγωσεν αὐτόν. Ἔπειτα δὲ τὴν αἵρεσιν ἔδωκεν ἢ ἀπολῦσαι τὸν Ἰησοῦν ἢ Βαραββᾶν τὸν φονέα.


Καὶ ὁ ὄχλος εἵλετο τὸν Βαραββᾶν.
Τί ἀδύνατος ἦν παρεῖναι ὡς βοηθήσων αὐτῷ;
Καὶ τέλος εἶπεν ὁ ἀρχιερεὺς τῷ Πιλάτῳ· ἐὰν τοῦτον ἀπολύσης, οὐκ εἶ φίλος τοῦ Καίσαρος.
Ὁ οὖν Πιλᾶτος ἀπενίψατο τὰς χεῖρας, λέγων· ἀθῷός εἰμι ἀπὸ τοῦ αἵματος τοῦ δικαίου τούτου. Τα δὲ περικαθάρματα τῆς πόλεως, τοῖς πρεσβυτέροις πεισθέντα, ἔκραξε· σταύρωσον αὐτόν. Σταύρωσον αὐτόν.


Οἶδα ὅπη διαβατέον ἐστὶν αὐτοῖς. Σπεῦδε, ὦ Μαλώχ, οὐ γὰρ ὕστεροι εἶμεν ἂν σῶσαι αὐτόν.

Τοῦ Βενὼρ καὶ τῶν ὀλίγων ἀμφὶ αὐτὸν ἐκπεπληγμένων καὶ κατὰ τὴν ὁδὸν ἑστηκότων, δεινὸν ἰδέσθαι, ἐκεῖνοι πορευόμενοι περιῄεσαν βραδέως ἀνὰ τὸν τραχύν τε καὶ στρεβλὸν βουνόν.



Ἐπειδὴ ὁ Βενὼρ ἔκραξεν· εἰπέ μοι, Διδάσκαλε, ἐὰν βοήθειαν ποιήσωμαι, ἆρα λήψει; ὁ Ἰησοῦς περίλυπος ὢν καὶ πάσχων, οὐκ ἀπεκρίθη αὐτῷ λόγον, ἀδύνατος δὲ λαλεῖν, τοῖς ὀφθαλμοῖς ὡς τελευτήσων ηὐλόγησεν αὐτῷ.
Τότε δὴ ὁ Βενὼρ συνῆκε τὸν Ἰησοῦν δεξάμενον τοῦτο τὸ παθεῖν καὶ τὸν θάνατον εἰς τὸ ἱλάσκεσθαι τὰς ἁμαρτίας πάντων τῶν ἀνθρώπων.



Καὶ πρωῒ τῇ τρίτῃ ἡμέρᾳ ἐπειδὴ ὁ Χριστὸς ἐσταυρώθη, τῇ κυριακῇ ἣν νῦν Πάσχα ὀνομάζομεν, ὁ Βενὼρ ἤκουσε τὴν ἔνδοξον ἀγγελίαν τὴν ἐν τῷ κόσμῳ διαμενοῦσαν ἀντηχεῖν εἰς τοὺς αἰῶνας τῶν αἰώνων.




Καὶ παραχρῆμα ὁ Βενώρ τε καὶ πάντες οἱ οἰκέται συνηγμένοι εἰσὶν ἐν τῇ αὐλῇ.







Ἄρας δὲ δύο κάρφη ἐκ τῆς γῆς, ὁ Βενὼρ ποιεῖ τὸ σημεῖον ὃ τότε καὶ εἰς τὸν αἰῶνα ἔσται τῶν ἐπακολουθούντων τοῖς ἴχνεσιν Ἰησοῦ Χριστοῦ.

